

ἡ ΓΔ ἄρα δύο μέσα δυναμένη ἐστίν :–

οβ Ῥητοῦ καὶ μέσου συντιθεμένου. τέσσαρες ἄλογοι γίνονται·
ἤτοι ἐκ δύο ὀνομάτων. ἢ ἐκ δύο μέσων πρώτη. ἢ μεί-
ζων· ἢ ῥητὸν καὶ μέσον δυναμένη· ἔστω ῥητὸν μὲν
τὸ ΑΒ· μέσον δὲ τὸ ΓΔ. λέγω ὅτι ἡ τὸ ΑΔ χωρίον δυ-
ναμένη. ἤτοι ἐκ δύο ὀνομάτων ἐστίν. ἢ ἐκ δύο μέσων
πρώτη. ἢ μείζων. ἢ ῥητὸν καὶ μέσον δυναμένη· τὸ
γὰρ ΑΒ τοῦ ΓΔ. ἤτοι μεῖζόν ἐστιν ἢ ἔλασσον· ἔστω
πρότερον μεῖζον καὶ ἐκκείσθω ῥητὴ ἡ ΕΖ. καὶ παρα-
βεβλήσθω παρὰ τὴν ΕΖ τῶι ΑΒ ἴσον τὸ ΕΗ πλά-
τος ποιοῦν τὴν ΕΘ· τῶι δὲ ΔΓ ἴσον παρὰ τὴν ΕΖ
τουτέστι τὴν ΘΗ παραβεβλήσθω τὸ ΘΙ πλάτος
ποιοῦν τὴν ΘΚ· καὶ ἐπεὶ ῥητόν ἐστι τὸ ΑΒ καί ἐστιν ἴσον
τῶι ΕΗ. ῥητὸν ἄρα καὶ τὸ ΕΗ. καὶ παρὰ ῥητὴν τὴν
ΕΖ παραβέβληται πλάτος ποιοῦν τὴν ΕΘ· ῥητὴ
ἄρα ἐστὶν ἡ ΕΘ καὶ σύμμετρος τῆι ΕΖ μήκει· πάλιν ἐπεὶ
μέσον ἐστὶ τὸ ΓΔ, καί ἐστιν ἴσον τῶι ΘΙ. μέσον ἄρα ἐστὶ καὶ
τὸ ΘΙ καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται τουτέστι
τὴν ΘΗ πλάτος ποιοῦν τὴν ΘΚ· ῥητὴ ἄρα ἐστὶν ἡ
ΘΚ καὶ ἀσύμμετρος τῆι ΕΖ μήκει· καὶ ἐπεὶ μέσον ἐστὶ τὸ
ΓΔ. ῥητὸν δὲ τὸ ΑΒ. ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΑΒ τῶι
ΓΔ· ὥστε καὶ τὸ ΕΗ ἀσύμμετρόν ἐστι τῶι ΘΙ· ὡς δὲ
τὸ ΕΗ πρὸς τὸ ΘΙ. οὕτως ἐστὶν ἡ ΕΘ πρὸς τὴν ΘΚ· ἀ-
σύμμετρος ἄρα ἐστὶν καὶ ἡ ΕΘ τῆι ΘΚ μήκει. καί εἰσιν
ἀμφότεραι ῥηταί· αἱ ΕΘ ΘΚ ἄρα ῥηταί εἰσι δυνά-
μει μόνον σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΕΚ

διῃρημένη κατὰ τὸ Θ· καὶ ἐπεὶ μεῖζόν ἐστι τὸ ΑΒ τοῦ ΓΔ· ἴ-
σον δὲ τὸ μὲν ΑΒ τῶι ΕΗ· τὸ δὲ ΓΔ τῶι ΘΙ. μεῖζον ἄρα
καὶ τὸ ΕΗ τοῦ ΘΙ. καὶ ἡ ΕΘ ἄρα μείζων ἐστὶ τῆς ΘΚ. ἤτοι
οὖν ἡ ΕΘ τῆς ΘΚ μεῖζον δύναται τῶι ἀπὸ συμμέτρου
ἑαυτῆι μήκει ἢ τῶι ἀπὸ ἀσυμμέτρου· δυνάσθω πρότε-
ρον τῶι ἀπὸ συμμέτρου ἑαυτῆι. καί ἐστι μείζων ἡ ΘΕ σύμ-
μετρος τῆι ἐκκειμένηι ῥητῆι τῆι ΕΖ· ἡ ἄρα ΕΚ ἐκ
δύο ὀνομάτων ἐστὶ πρώτη· ῥητὴ δὲ ἡ ΕΖ· ἐὰν δὲ
χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο ὀνο-
μάτων πρώτης. ἡ τὸ χωρίον δυναμένη ἐκ δύο ὀ-
νομάτων ἐστίν· ἡ ἄρα τὸ ΕΙ δυναμένη. ἐκ δύο ὀνο-
μάτων ἐστίν· ὥστε καὶ ἡ τὸ ΑΔ δυναμένη. ἐκ δύο ὀνο-
μάτων ἐστίν· ἀλλὰ δὴ δυνάσθω ἡ ΕΘ τῆς ΘΚ μεῖζον
τῶι ἀπὸ ἀσυμμέτρου ἑαυτῆι. καί ἐστι μείζων ἡ ΕΘ σύμ-
μετρος τῆι ἐκκειμένηι ῥητῆι τῆι ΕΖ μήκει. ἡ ἄ-
ρα ΕΚ ἐκ δύο ὀνομάτων ἐστὶ τετάρτη· ῥητὴ δὲ
ἡ ΕΖ· ἐὰν δὲ χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ
τῆς ἐκ δύο ὀνομάτων τετάρτης. ἡ τὸ χωρίον δυ-
ναμένη ἄλογός ἐστιν ἡ καλουμένη μείζων· ἡ ἄρα
τὸ ΕΙ χωρίον δυναμένη μείζων ἐστίν· ὥστε καὶ ἡ τὸ
ΑΔ δυναμένη μείζων ἐστίν· ἀλλὰ δὴ ἔστω ἔλασσον
τὸ ΑΒ τοῦ ΓΔ· καὶ τὸ ΕΗ ἄρα ἔλασσόν ἐστι τοῦ ΘΙ· ὥσ-
τε καὶ ἡ ΕΘ ἐλάσσων ἐστὶ τῆς ΘΚ· ἤτοι δὲ ἡ ΘΚ τῆς
ΕΘ μεῖζον δύναται τῶι ἀπὸ συμμέτρου ἑαυτῆι ἢ
τῶι ἀπὸ ἀσυμμέτρου. δυνάσθω πρότερον τῶι ἀ-
πὸ συμμέτρου ἑαυτῆι μήκει· καί ἐστιν ἐλάσσων ἡ ΕΘ

BIBLIOTHECA BODLEIANA

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo